αὐτῶν ἀναγόμενος ἡμῖν;’ καὶ ὁ πατὴρ μειδιάσας ‘τοιοῦ-
τον’ ἔφη ‘τὸ ἦθος, ὦ ξένε, τὸ τούτου, σιωπηλὸν καὶ πρὸς
τοὺς λόγους εὐλαβές, ἄπληστον δὲ τοῦ μανθάνειν καὶ
ἀκροᾶσθαι· διὸ καὶ Σπίνθαρος ὁ Ταραντῖνος οὐκ ὀλίγον
αὐτῷ συνδιατρίψας ἐνταῦθα χρόνον ἀεὶ δήπου λέγει μη-
δενί πη τῶν καθ’ ἑαυτὸν ἀνθρώπων ἐντετυχηκέναι | μήτε 593
πλείονα γιγνώσκοντι μήτ’ ἐλάσσονα φθεγγομένῳ. σὺ
οὖν ἃ φρονεῖς αὐτὸς δίελθε περὶ τῶν εἰρημένων.’

**24.** ‘Ἐγὼ τοίνυν’ ἔφη ‘τὸν μὲν Τιμάρχου λόγον ὥσπερ
ἱερὸν καὶ ἄσυλον ἀνακεῖσθαί φημι τῷ θεῷ χρῆναι· θαυμάζω
δ’ εἰ τοῖς ὑπὸ Σιμμίου λεγομένοις αὐτοῦ δυσπιστήσουσί
τινες, κύκνους μὲν [γὰρ] ἱεροὺς καὶ δράκοντας καὶ κύνας καὶ
ἵππους ὀνομάζοντες, ἀνθρώπους δὲ θείους εἶναι καὶ θεο-
φιλεῖς ἀπιστοῦντες, καὶ ταῦτα τὸν θεὸν οὐ φίλορνιν ἀλλὰ
φιλάνθρωπον ἡγούμενοι. καθάπερ οὖν ἀνὴρ φίλιπ-
πος οὐ πάντων ὁμοίως ἐπιμελεῖται τῶν ὑπὸ τὸ γένος, ἀλλ’ B
ἀεί τιν’ ἄριστον ἐξαιρῶν καὶ ἀποκρίνων καθ’ αὑτὸν ἀσκεῖ
καὶ τρέφει καὶ ἀγαπᾷ διαφερόντως, ⟨οὕτω⟩ καὶ ἡμῶν οἱ
ὑπὲρ ἡμᾶς τοὺς βελτίστους οἷον ἐξ ἀγέλης χαράξαντες
ἰδίας τινὸς καὶ περιττῆς παιδαγωγίας ἀξιοῦσι, οὐχ ὑφ’
ἡνίας οὐδὲ ῥυτήρων ἀλλὰ λόγῳ διὰ συμβόλων εὐθύνοντες·
ὧν οἱ πολλοὶ καὶ ἀγελαῖοι παντάπασιν ἀπείρως ἔχουσιν.
οὐδὲ γὰρ οἱ πολλοὶ κύνες τῶν θηρατικῶν σημείων οὐδ’
[οἱ πολλοὶ] ἵπποι τῶν ἱππικῶν συνιᾶσιν, ἀλλ’ οἱ μεμα-
θηκότες εὐθὺς ἀπὸ σιγμοῦ τοῦ τυχόντος ἢ ποππυσμοῦ
τὸ προστατττόμενον αἰσθανόμενοι ῥᾳδίως εἰς ὃ δεῖ καθ-
ίστανται. φαίνεται δὲ γιγνώσκων καὶ Ὅμηρος ἣν λέγομεν C
διαφορὰν ἡμεῖς· τῶν γὰρ μάντεων οἰωνοπόλους τινὰς κα-
λεῖ καὶ ἱερεῖς, ἑτέρους δὲ τῶν θεῶν αὐτῶν διαλεγομένων